ʽεἶτά μοι σκάπτων ἐρεῖ, 519
ἐφ᾽ οἷς γεγόνασιν αἱ διαλύσεις· ταῦτα γὰρ
πολυπραγμονῶν νῦν ὁ κατάρατος περιπατεῖ,᾽

(8.) οἱ δὲ πολυπράγμονες ὡς ἕωλόν τι πρᾶγμα καὶ ψυχρὸν καὶ ἀτράγῳδον φεύγοντες τὴν ἀγροικίαν εἰς τὸ δεῖγμα καὶ τὴν ἀγορὰν καὶ τοὺς λιμένας ὠθοῦνται· ʽμή τι καινόν;᾽ — ʽοὐ γὰρ ἦς πρωῒ κατ᾽ ἀγοράν;᾽ — ʽτί οὖν; ἐν ὥραις τρισὶν οἴει τὴν πόλιν μετακεκοσμῆσθαι;᾽ οὐ μὴν ἀλλ᾽ ἂν μέν τις ἔχῃ τι τοιοῦτον εἰπεῖν, καταβὰς ἀπὸ τοῦ ἵππου δεξιωσάμενος καταφιλήσας ἕστηκεν ἀκροώμενος· ἐὰν δ᾽ ἀπαντήσας εἴπῃ τις ὅτι οὐθὲν καινόν, ὥσπερ ἀχθόμενος ʽτί λέγεις;᾽ φησίν ʽοὐ γέγονας κατ᾽ ἀγοράν; οὐ παρελήλυθας B
τὸ στρατήγιον; οὐδὲ τοῖς ἐξ Ἰταλίας ἥκουσιν ἐντετύχηκας;᾽ διὸ καλῶς οἱ τῶν Λοκρῶν ἄρχοντες· ἐπεὶ γάρ τις ἐξ ἀποδημίας προσιὼν ἠρώτησε ʽμή τι καινόν;᾽ ἐζημίωσαν αὐτόν. ὡς γὰρ οἱ μάγειροι φορὰν εὔχονται βοσκημάτων οἱ δ᾽ ἁλιεῖς ἰχθύων, οὕτως οἱ πολυπράγμονες εὔχονται φορὰν κακῶν καὶ πλῆθος πραγμάτων καὶ καινότητας καὶ μεταβολάς, ἵν᾽ ἀεί τι θηρεύειν καὶ κατακόπτειν ἔχωσιν. εὖ δὲ καὶ ὁ τῶν Θουρίων νομοθέτης· κωμῳδεῖσθαι γὰρ ἐκώλυσε τοὺς πολίτας πλὴν μοιχοὺς καὶ πολυπράγμονας. ἔοικε γὰρ ἥ τε μοιχεία πολυπραγμοσύνη τις ἀλλοτρίας